# 13 MAI

# PARACLISUL SF.MUCENITE GLICHERIA DE LA HERACLEEA TRACIEI

## PARACLISIER-GR

www.tezaurliturgic.ro



# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

# ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

# ΓΛΥΚΕΡΙΑΝ

**Η μνήμη αυτής την 13ην Μαΐου.**

**(μοναχού Γερασίμου Μικραγιαννανίτου).**

Ευλογήσαντος του Ιερέως, το Κύριε εισάκουσον, μεθ' ό το Θεός Κύριος ως συνήθως και το εξής:

Ήχος δ'. Ο υψωθείς εν τω Σταυρώ.

Ως κεκτημένη προς Χριστόν παρρησίαν, Μεγαλομάρτυς Γλυκερία θεόφρον, υπέρ ημών ικέτευε δεόμεθα, όπως λυτρωθείημεν, πειρασμών και κινδύνων, και παθών και θλίψεων, και δεινών νοσημάτων, οι προσιόντες πίστει ακλινεί, Παρθενομάρτυς, τη θεία πρεσβεία σου.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον.

Ου σιωπήσομέν ποτέ Θεοτόκε, τας δυναστείας σου λαλείν οι ανάξιοι˙ ειμή γαρ συ προΐστασο πρεσβεύουσα, τίς ημάς ερρύσατο εκ τοσούτων κινδύνων; τίς δε διεφύλαξεν έως νυν ελευθέρους; ουκ αποστώμεν Δέσποινα εκ σου, σους γαρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Ο Ν’ και ο κανών ού η ακροστιχίς.

«Δίδου μοι σην Γλυκερία χάριν. Γερασίμου».

Ωδή α’. Ήχος πλ. δ’. Υγράν διοδεύσας.

Δυνάμει των θείων σου πρεσβειών, απάλλαξον Μάρτυς, των εν βίω δυσχερειών, και πάσης ανάγκης Γλυκερία, τους προσιόντας θερμώς τη ση χάριτι.

Ιδού σοι προσπίπτομεν ευλαβώς, σεμνή Γλυκερία, και βοώμέν σοι εκ ψυχής˙ της νυν επελθούσης ημάς ζάλης, τη προς Χριστόν ικεσία σου λύτρωσαι.

Δυνάμωσον Μάρτυς το ασθενές, της εμής καρδίας, και του σώματος τα δεινά, θεράπευσον πάθη Γλυκερία, τη εκ του Θεού δεδομένη σοι χάριτι.

Θεοτοκίον.

Ο θρόνος ο πάγχρυσος του Θεού, Κεχαριτωμένη Παντευλόγητε Μαριάμ, ρύσαι δυναστείας του Βελίαρ, την ρυπωθείσαν ψυχήν μου τοις πάθεσι.

Ωδή γ'. Ουρανίας αψίδος.

Υπερήφανον όφιν, αθλητικώς ήσχυνας˙ όθεν της αυτού κακουργίας, ημάς απάλλαξον, τη προστασία σου Μάρτυς Χριστού Γλυκερία, και τω φόβω τείχισον, ημάς του κρείττονος.

Μαρτυρίου τον δρόμον, περιφανώς ήνυσας˙ όθεν σωτηρίας προ τρίβον, ημάς κατεύθυνον, εξ απωλείας οδού, και εκ βαράθρων της πλάνης, Γλυκερία άπαντας, ημάς απάγουσα.

Οι τω θείω ναώ σου, μετά σπουδής σπεύδοντες, θείας ευφροσύνης πληρούνται, και απαλλάττονται, πόνων και θλίψεων, τη ση θερμή αντιλήψει, Μάρτυς και κηρύττουσι, πάσι την χάριν σου.

Θεοτοκίον.

Ιησούν τον Σωτήρα, και της ζωής αίτιον, ύλη ανθρωπίνη τεκούσα, τον ακατάληπτον, ζώωσον Πάναγνε, την νεκρωθείσαν ψυχήν μου, και ζωής της θείας με, ποίησον μέτοχον.

Διάσωσον ταις προς Χριστόν ικεσίαις σου Γλυκερία, από πάσης επιφοράς και κακώσεως, τους προσιόντας τη θεία σου προστασία.

Επίβλεψον εν ευμενεία...

Αίτησις και το Κάθισμα.

Ήχος β'. Πρεσβεία θερμή.

Πρεσβεία τη ση, Παρθενομάρτυς ένδοξε, εν πίστει θερμή, προσπίπτοντες ρυσθείημεν, επιφορών και θλίψεων, και πταισμάτων λαμβάνομεν άφεσιν˙ συ γαρ αεί Γλυκερία Χριστόν, ημίν απεργάζη Μάρτυς ίλεων.

Ωδή δ’. Εισακήκοα Κύριε.

Συντριβέντα με ίασαι, ταις του πονηρού σεμνή επιθέσεσι, Γλυκερία και εξαίτει μοι, των πλημμελημάτων την συγχώρησιν.

Η πρεσβεία σου γένοιτο, τείχος ασφαλείας τοις ευφημούσί σε, Γλυκερία αποτρέπουσα, αφ’ ημών κινδύνων πάσαν έφοδον.

Νοσημάτων απάλλαξον, των κατά ψυχήν και σώμα δεόμεθα, Γλυκερία τους προστρέχοντας, τη αθλητική σου Μάρτυς χάριτι.

Θεοτοκίον.

Γνώμην έμφρονα δίδου μοι, και των λογισμών Αγνή του αλάστορος, την καρδίαν μου εκκάθαρον, ως πηγή ελέους Μητροπάρθενε.

Ωδή ε’. Φώτισον ημάς.

Λύσιν δυσχερών, και παθών την απολύτρωσιν, και ειρήνην εν τω βίω σταθεράν. Γλυκερία ημίν δίδου ταις πρεσβείαις σου.

Ύπερθεν ημάς, εποπτεύοις Μάρτυς ίλεως, εκπληρούσα τα αιτήματα ημών, Γλυκερία ως θερμή πιστών αντίληψις.

Κόπασον παθών, το συνέχον με κλυδώνιον, και οδήγησόν με Μάρτυς ασφαλώς, προς ειρήνης τον λιμένα τον αχείμαστον.

Θεοτοκίον.

Έλαμψεν εκ σου, ο της δόξης Κόρη Ήλιος, και κατηύγασε τω θείω φωτισμώ, τους υμνούντάς σου τον τόκον τον απόρρητον.

Ωδή ς’. Την δέησιν.

Ρημάτων, εκ κατωδύνου καρδίας, προσφερόντων σοι θερμάς ικεσίας, δέχου σεμνή τας φωνάς και

παράσχου, των επελθόντων δεινών την εκλύτρωσιν, τοις προσιούσιν ευλαβώς, τη θερμή Γλυκερία πρεσβεία σου.

Ιάτρευσον, της ψυχής μου το άλγος, Γλυκερία καλλιμάρτυς Κυρίου, και την του σώματος ίασαι νόσων, και συμφορών το κλυδώνιον κόπασον, και ίθυνόν με ασφαλώς, προς λιμένα του θείου θελήματος.

Αγγέλους, εν τω καιρώ των αγώνων, συνεργούντάς σοι εν άπασι έσχες, Μεγαλομάρτυς Χριστού Γλυκερία˙ μεθ' ών δυσώπει απαύστως δεόμεθα, μεγάλων ρύεσθαι δεινών, τους πιστώς προσιόντας τη σκέπη σου.

Θεοτοκίον.

Χαρίτων, υπερφυών πρυτανείον, και πηγή αγιασμάτων αρρήτων, ως αληθώς Θεοτόκε εδείχθης, τον Βασιλέα των όλων κυήσασα, ον καθικέτευε Αγνή, των παθών με ρυσθήναι του χείρονος.

Διάσωσον ταις προς Χριστόν ικεσίαις σου Γλυκερία, από πάσης επιφοράς και κακώσεως, τους προσιόντας τη θεία σου προστασία.

Άχραντε, η δια λόγου…

Αίτησις και το Κοντάκιον.

Ήχος β’. Τοις των αιμάτων σου.

Τοις υπέρ φύσιν αγώσι σου πάνσεμνε, υπερφυών χαρισμάτων ηξίωσαι˙ και νυν Γλυκερία θεόνυμφε, πολυειδών συμπτωμάτων και θλίψεων, ατρώτους ημάς διαφύλαττε.

Προκείμενον.

Υπομένων υπέμεινα τον Κύριον και προσέσχε μοι.

Στίχ. Και έστησεν επί πέτραν τους πόδας μου…

Ευαγγέλιον κατά Ματθαίον.

Είπεν ο Κύριος την παραβολήν ταύτην. Ωμοιώθη η βασιλεία των ουρανών δέκα παρθένοις, αίτινες, λαβούσαι τας λαμπάδας αυτών, εξήλθον εις

απάντησιν του νυμφίου. Πέντε δε ήσαν εξ αυτών φρόνιμοι, και αι πένται μωραί. Αίτινες μωραί, λαβούσαι τας λαμπάδας αυτών, ουκ έλαβον μεθ' εαυτών έλαιον˙ αι δε φρόνιμοι έλαβον έλαιον εν ταις αγγείοις αυτών μετά των λαμπάδων αυτών. χρονίζοντος δε του Νυμφίου, ενύσταξαν πάσαι και εκάθευδον. Μέσης δε της νυκτός κραυγή γέγονεν˙ Ιδού ο νυμφίος έρχεται˙ εξέρχεσθε εις απάντησιν αυτού. Τότε ηγέρθησαν πάσαι αι παρθένοι εκείναι, και εκόσμησαν τας λαμπάδας αυτών. Αι δε μωραί ταις φρονίμοις είπον˙ Δότε ημίν εκ του ελαίου υμών, ότι αι λαμπάδες ημών σβένυνται. Απεκρίθησαν δε αι φρόνιμοι λέγουσαι˙ Μη ποτέ ουκ αρκέση ημίν και υμίν˙ πορεύεσθε δε μάλλον προς τους πωλούντας, και αγοράσατε εαυταίς. Απερχομένων δε αυτών αγοράσαι, ήλθεν ο νυμφίος˙ και αι έτοιμοι εισήλθον μετ' αυτού εις τους γάμους, και εκλείσθη η θύρα. Ύστερον δε έρχονται και αι λοιπαί παρθένοι, λέγουσαι˙ Κύριε, Κύριε, άνοιξον ημίν. Ο δε

αποκριθείς είπεν˙ Αμήν λέγω υμίν˙ Ουκ οίδα υμάς. Γρηγορείτε ουν, ότι ουκ οίδατε την ημέραν ουδέ την ώραν, εν ή ο Υιός του ανθρώπου έρχεται.

Δόξα. Ταις της Αθλοφόρου...

Και νυν. Ταις της Θεοτόκου...

Προσόμοιον.

Ήχος πλ. β΄. Όλην αποθέμενοι.

Στίχ. Ελέησόν με ο Θεός...

Γνώμη ανδρειόφρονι, τους της αθλήσεως πόνους, Μάρτυς υπομείνασα, προς ζωήν την άπονον, μεταβέβηκας, και παθών άπαντα, πόνον και οδύνην, Γλυκερία καλλιπάρθενε, κουφίζεις χάριτι, των ειλικρινώς προσιόντων σοι˙ διο καθικετεύομεν. Πάντοτε δυσώπει τον Κύριον, άφεσιν πταισμάτων, διδόναι και κακών απαλλαγήν, και συμφορών απολύτρωσιν, τοις σε μακαρίζουσι.

Ο Ιερεύς: Σώσον ο Θεός τον λαόν σου...

Ωδή ζ'. Οι εκ της Ιουδαίας.

Ανωτέρους συντήρει, από πάσης ανάγκης και περιστάσεως, θεόφρον Γλυκερία, τους πίστει προσιόντας, τω ναώ σου και ψάλλοντας. Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Ρώσιν δίδου απαύστως, και ψυχή τε και σώματι καλλιπάρθενε, και πάσαν ευρωστίαν, και χάριν και υγείαν, Γλυκερία τοις ψάλλουσιν. Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Ιαμάτων τα ρείθρα, ο σος τάφος ανέβλυζε πάλαι πάνσεμνε, τανύν δε η εικών σου, ιάται Γλυκερία, τους εν πίστει κραυγάζοντας. Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Θεοτοκίον.

Νεκρωθέντα με Κόρη, κατά νουν και καρδίαν δόλω του όφεως, ανάστησον και δίδου, μετάνοιαν γνησίαν, ίνα πίστει κραυγάζω σοι˙ χαίρε Παρθένε Αγνή, αμαρτωλών προστάτις.

## Ωδή η’. Τον Βασιλέα.

Γέρας σε θείον, Τραϊανούπολις σχούσα, εγκαυχάται σου τοις άθλοις Γλυκερία, και τη ση πρεσβεία, δια παντός προστρέχει.

Έβρος κηρύττει, Παρθενομάρτυς Κυρίου, της σης χάριτος τας θείας διαδόσεις, δι’ ών αεί σκέπεις, τους σε υμνολογούντας.

Ρείθροις αΰλοις, των δωρεών σου Αγία, αρδευόμενοι Θρακιωτών οι δήμοι, πάσης Γλυκερία, πληρούνται ευφροσύνης.

### Θεοτοκίον.

Αγγέλων δόξα, και των βροτών σωτηρία, Αειπάρθενε Αγνή Θεοκυήτορ, κάθαρον τον νούν μου, εκ πάσης αμαρτίας.

Ωδή θ’. Κυρίως Θεοτόκον.

Συνούσα τοις Αγγέλοις, Μάρτυς Γλυκερία, Χριστόν δυσώπει σωθήναι δεόμεθα, πάσης ανάγκης και βλάβης τους σε γεραίροντας.

Ιλύος αμαρτίας, πλύνον Γλυκερία, την ρυπωθείσαν ψυχήν μου τοις πάθεσι, και την ζωήν μου βελτίωσον τη πρεσβεία σου.

Μαρτύρων ωραιότης, Μάρτυς Γλυκερία, και ευσεβούντων απάντων κραταίωμα, ταις εντολαίς του Κυρίου ημάς κραταίωσον.

Ομβρίζουσα μη παύση, τη ση μεσιτεία, της θεϊκής ευσπλαγχνίας τα ρεύματα, τοις ευλαβώς Γλυκερία σε μακαρίζουσι.

Θεοτοκίον.

Υψώσασα τον νουν μου, εκ των χαμαιζήλων, καρδίωσόν με Υιού σου τω έρωτι, ίνα υμνώ σε Παρθένε την πολυύμνητον.

Το Άξιον εστί και τα Μεγαλυνάρια.

Χαίροις των Παρθένων η καλλονή, Μάρτυς Γλυκερία, νύμφη άφθορε του Χριστού˙ χαίροις η δι' άθλων, ανδρείων καθελούσα, εχθρού του παλαμναίου, άπαν το φρύαγμα.

Ήνθησας ως άνθος κοκκοβαφές, Μάρτυς Γλυκερία, και προσήγαγες τω Χριστώ, την της παρθενίας, οσμήν τη ση αθλήσει˙ διο της αιωνίου, δόξης ηξίωσαι.

Φέρουσα την δύναμιν του Σταυρού, απτόητος έστης, προ βημάτων δικαστικών, και τη υπέρ φύσιν, αθλήσει σου αγία, υπερφυών επάθλων, ώφθης συμμέτοχος.

Σώματος ηλόγησας του φθαρτού, και άσαρκος ώσπερ καθυπέμεινας τας ποινάς˙ όθεν Γλυκερία, Αγγέλους ουρανίους, έσχηκας διακόνους, εν τη αθλήσει σου.

Ξεσμούς καθυπέστης τους χαλεπούς, και το πυρ εις δρόσον, μεταβέβληκας θαυμαστώς˙ όθεν Γλυκερία,

σβέσον τη ση πρεσβεία, των πειρασμών την φλόγα, εκ των ψυχών ημών.

Νόσων και κινδύνων παντοδαπών, και πάσης ανάγκης, διατήρησον αβλαβείς, ημάς Γλυκερία, Χριστού Παρθενομάρτυς, τους την σεπτήν σου μνήμην, πόθω γεραίροντας.

Πάσαι των Αγγέλων...Το Τρισάγιον, τα συνήθη τροπάρια, εκτενής και απόλυσις,μεθ' ήν το εξής:

Ήχος β'. Ότε εκ του ξύλου.

Μάρτυς Καλλιπάρθενε Χριστού, τους πανευλαβώς προσιόντας, τη αντιλήψει σου, πάσης περιστάσεως και συνοχής πειρασμών, Γλυκερία απάλλατε, και δίδου εκάστω, ίασιν και λύτρωσιν, και θείον έλεος, έχουσα πολλήν παρρησίαν, προς τον σον νυμφίον και Κτίστην, ον εν τη αθλήσει σου εδόξασας.

Δίστιχον.Πρόσδεξαι την δέησιν ταύτην ώ Μάρτυς

Και δίδου βοήθειαν τω Γερασίμω.